# ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β

*Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελή-* 1
*ματος θεοῦ κατ᾽ ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ*

2 *Ἰησοῦ ¹ Τιμοθέῳ ἀγαπητῷ τέκνῳ· χάρις, ἔλεος,*
*εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ*
*κυρίου ἡμῶν.*
Act 23,1; 24,16. Ph 3,5. 3 *Χάριν ἔχω τῷ θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων*
*ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν*
*περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσίν μου, νυκτὸς καὶ*
4 *ἡμέρας ¹ ἐπιποθῶν σε ἰδεῖν, μεμνημένος σου τῶν*
Act 16,1. 5 *δακρύων, ἵνα χαρᾶς πληρωθῶ, ¹ ὑπόμνησιν λαβὼν*
*τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησεν*
*πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι καὶ τῇ μητρί*
1 Th 5,19. 1 T 4,14. 6 *σου Εὐνίκῃ, πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. Δι' ἣν*
*αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα*
*τοῦ θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεώς τῶν*
R 8,15. 7 *χειρῶν μου. οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα*
*δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισ-*
R 1,16. 8 *μοῦ. μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ κυρίου*
*ἡμῶν μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ, ἀλλὰ συν-*
*κακοπάθησον τῷ εὐαγγελίῳ κατὰ δύναμιν θεοῦ,*
Tt 3,5. 9 *τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος κλήσει ἁγίᾳ,*
*οὐ κατὰ τὰ ἔργα ἡμῶν ἀλλὰ κατὰ ἰδίαν πρόθεσιν*
*καὶ χάριν, τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ*
R 16,26. 1 K 15,55.57. H 2,14. 10 *πρὸ χρόνων αἰωνίων, φανερωθεῖσαν δὲ νῦν διὰ*
*τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Χριστοῦ Ἰησοῦ,*
*καταργήσαντος μὲν τὸν θάνατον φωτίσαντος δὲ*
1 T 2,7. 11 *ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου, εἰς ὃ*
*ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος·*
12 *δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω, ἀλλ' οὐκ ἐπαι-*
*σχύνομαι, οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι*
*ὅτι δυνατός ἐστιν τὴν παραθήκην μου φυλάξαι*
1 T 6,3. Tt 2,1. 13 *εἰς ἐκείνην τὴν ἡμέραν. ὑποτύπωσιν ἔχε ὑγιαι-*
*νόντων λόγων ὧν παρ' ἐμοῦ ἤκουσας ἐν πίστει*

---

*2 Χρ. Ιησ.* : **h** *κυριου Ιησ. Χρ.* *3* TW *μου νυκτος κ. ημερας,* *4 πληρωθω,* : H—,R· *6 θεου* : W *Χριστου* *10* W *Ιησου Χριστου* *11 διδασκ.* : R+ [*εθνων*] *13 ων* : **h**[s] *fort.* err. prim. *pro ὂν* *13.14* W *ηκουσας. εν … Ιησου την*

---

*5 λαμβανων* *6 υπομιμνησκω* *11* — *και 2⁰*

*καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ· τὴν καλὴν παρα-* 14 1 T 6,20.
*θήκην φύλαξον διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦν-*
*τος ἐν ἡμῖν. Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν* 15 4,16.
*με πάντες οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστιν Φύγελος καὶ*
*Ἑρμογένης. δῴη ἔλεος ὁ κύριος τῷ Ὀνησιφόρου* 16
*οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξεν καὶ τὴν ἅλυσίν*
*μου οὐκ ἐπαισχύνθη, ἀλλὰ γενόμενος ἐν Ῥώμῃ* 17
*σπουδαίως ἐζήτησέν με καὶ εὗρεν· — δῴη αὐτῷ* 18 Jd 21.
*ὁ κύριος εὑρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ*
*ἡμέρᾳ· — καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησεν, βέλτιον*
*σὺ γινώσκεις.*

*Σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι* 2
*τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ' ἐμοῦ* 2
*διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς*
*ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους*
*διδάξαι. συνκακοπάθησον ὡς καλὸς στρατιώτης* 3 1,8; 4,5.
*Χριστοῦ Ἰησοῦ. οὐδεὶς στρατευόμενος ἐμπλέκεται* 4
*ταῖς τοῦ βίου πραγματίαις, ἵνα τῷ στρατολογή-*
*σαντι ἀρέσῃ. ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται* 5 4,8.
*ἐὰν μὴ νομίμως ἀθλήσῃ. τὸν κοπιῶντα γεωργὸν* 6 1 K 9,7.
*δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. νόει ὃ* 7
*λέγω· δώσει γάρ σοι ὁ κύριος σύνεσιν ἐν πᾶσιν.*
*Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν,* 8 1 K 15,4.20.
*ἐκ σπέρματος Δαυείδ, κατὰ τὸ εὐαγγέλιόν μου·* 2 Sm 7,12.
*ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος, ἀλλὰ* 9 E 3,1.13. Ph 2,17.
*ὁ λόγος τοῦ θεοῦ οὐ δέδεται. διὰ τοῦτο πάντα* 10 Ph 1,12–14. Kol 1,24.
*ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σω-*
*τηρίας τύχωσιν τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης*
*αἰωνίου. Πιστὸς ὁ λόγος· εἰ γὰρ συναπεθάνομεν,* 11 2 K 4,11.
*καὶ συνζήσομεν· εἰ ὑπομένομεν, καὶ συνβασιλεύ-* 12 Mt 10,33.

---

*15* T *Ἑρμογενης* *17* W *σπουδαιοτερως* | W *ευρεν.* *18* W *ημερα.* **2**,*4* RW *πραγματειαις* *9* H *κακουργος. αλλα … δεδεται·* *11* W *λογος.* *12* R *συμβασιλ.*

---

*15 Φυγελλος* *16 επησχυνθη* *17 σπουδαιοτερον* *18 διηκ. : + μοι* **2**,*3 συ ουν κακοπαθησον* *6 προτερον* *7 ο : α | δωη*

σομεν· εἰ ἀρνησόμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς·
R 3,2.3. Nu 23,19. 13 εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει, ἀρνήσασθαι
1 T 6,4. Tt 3,9. 14 γὰρ ἑαυτὸν οὐ δύναται. Ταῦτα ὑπομίμνῃσκε,
διαμαρτυρόμενος ἐνώπιον τοῦ θεοῦ μὴ λογομαχεῖν,
ἐπ᾽ οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόν-
1 T 4,6. Tt 2,7.8. L 12,42. 15 των. σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ
θεῷ, ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν
1 T 4,7. 16 λόγον τῆς ἀληθείας. τὰς δὲ βεβήλους κενοφωνίας
περιΐστασο· ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας,
1 T 1,20. 17 ⸀καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει· ὧν
18 ἐστιν Ὑμέναιος καὶ Φιλητός, οἵτινες περὶ τὴν
ἀλήθειαν ἠστόχησαν, λέγοντες ἀνάστασιν ἤδη γε-
Nu 16,5.26. 19 γονέναι, καὶ ἀνατρέπουσιν τήν τινων πίστιν. ὁ
Is 26,13; 28,16.17. J 10,14. μέντοι στερεὸς θεμέλιος τοῦ θεοῦ ἕστηκεν, ἔχων
τὴν σφραγῖδα ταύτην· **ἔγνω κύριος τοὺς ὄντας**
**αὐτοῦ**, καί· ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ **ὀνο-**
1 K 3,12. 20 **μάζων τὸ ὄνομα κυρίου**. ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ
ἔστιν μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ
ξύλινα καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμὴν ἃ δὲ
3,17. 21 εἰς ἀτιμίαν· ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ
τούτων, ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον,
εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν
1 T 6,11; 1,5. 22 ἡτοιμασμένον. τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε,
δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην
μετὰ τῶν ἐπικαλουμένων τὸν κύριον ἐκ καθαρᾶς
1 T 4,7. 23 καρδίας. τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις
Tt 1,7. 24 παραιτοῦ, εἰδὼς ὅτι γεννῶσιν μάχας· δοῦλον δὲ
κυρίου οὐ δεῖ μάχεσθαι ἀλλὰ ἤπιον εἶναι πρὸς
1 T 2,4. 25 πάντας, διδακτικόν, ἀνεξίκακον, ⸀ἐν πραΰτητι παι-
δεύοντα τοὺς ἀντιδιατιθεμένους, μή ποτε δῴη αὐ-

---

*14 θεον* : hW *κυριον*   *17* H *Φίλητος*   *18 αναστασιν* : h[R]W pr *την*   *21* W *εις τιμην ηγιασμ.*   *22 μετα* : h+ *παντων*   *25* hW *δώη*

---

*12 αρνουμεθα*   *13 — γαρ*   *14 λογομαχει* | *επ* : *εις*   *19 κυριος* : + *παντας*   *21 ηγιασμ.* : + *και*   *24 νηπιον*

τοῖς ὁ θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας,
καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, 26
ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.
Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις 3 1 T 4,1.
ἐνστήσονται καιροὶ χαλεποί· ἔσονται γὰρ οἱ ἄν- 2 R 1,29 ss.
θρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερή-
φανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι,
ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, 3
ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυ- 4 Ph 3,19.
φωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, ἔχοντες 5 Mt 7,15.21. R 2,20. Tt 1,16.
μόρφωσιν εὐσεβείας τὴν δὲ δύναμιν αὐτῆς ἠρνη-
μένοι· καὶ τούτους ἀποτρέπου. ἐκ τούτων γάρ 6 Mt 23,14. Tt 1,11.
εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας καὶ αἰχμαλωτί-
ζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα
ἐπιθυμίαις ποικίλαις, πάντοτε μανθάνοντα καὶ 7 2,25.
μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνά-
μενα. ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέ- 8 Ex 7,11.22. 1 T 6,5; 1,12.
στησαν Μωϋσεῖ, οὕτως καὶ οὗτοι ἀνθίστανται τῇ
ἀληθείᾳ, ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδό-
κιμοι περὶ τὴν πίστιν. ἀλλ' οὐ προκόψουσιν ἐπὶ 9
πλεῖον· ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν,
ὡς καὶ ἡ ἐκείνων ἐγένετο. Σὺ δὲ παρηκολούθησάς 10
μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ
πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ,
τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένετο 11 Act 13,50; 14,5.19. Ps 34,20.
ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις· οἵους διωγ-
μοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων με ἐρύσατο ὁ
κύριος. καὶ πάντες δὲ οἱ θέλοντες ζῆν εὐσεβῶς 12 Mt 16,24. Act 14,22.
ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται. πονηροὶ δὲ ἄν- 13 1 T 4,1.
θρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον,

---

*26* **W** *αυτου,* **3,***8 Ιαμβρης* : **h**ʳ *Μαμβρῆς* *10* **h** *παρηκολουθηκας* *12* **R** *ευσεβως ζην*

---

**3,***1 γινωσκετε* *3* — *αστοργοι* *6 αιχμαλωτευοντες τα γ.* *10* — *τη αγαπη* *11 εγενοντο* | *Αντιοχ.* : + *α δια την Θεκλαν επαθεν*

2,2. 14 πλανῶντες καὶ πλανώμενοι. σὺ δὲ μένε ἐν οἷς
ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνων ἔμαθες,
J 5,39. 15 ¹καὶ ὅτι ἀπὸ βρέφους ἱερὰ γράμματα οἶδας, τὰ
δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως
2 P 1,19–21. 16 τῆς ἐν Χριστῷ Ἰησοῦ. πᾶσα γραφὴ θεόπνευστος
καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἐλεγμόν,
πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιο-
1 T 6,11. 17 σύνῃ, ¹ἵνα ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος, πρὸς
1 P 4,5. 4 πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος. Διαμαρτύρο-
μαι ἐνώπιον τοῦ θεοῦ καὶ Χριστοῦ Ἰησοῦ, τοῦ
μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς, καὶ τὴν
Act 20,20.31. 2 ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ· κήρυξον
τὸν λόγον, ἐπίστηθι εὐκαίρως ἀκαίρως, ἔλεγξον,
ἐπιτίμησον, παρακάλεσον, ἐν πάσῃ μακροθυμίᾳ
1,18. 1 T 4,1. 3 καὶ διδαχῇ. ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης
διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἰδίας
ἐπιθυμίας ἑαυτοῖς ἐπισωρεύσουσιν διδασκάλους
1 T 4,7. 4 κνηθόμενοι τὴν ἀκοήν, καὶ ἀπὸ μὲν τῆς ἀληθείας
2 Th 2,11. τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους
2,3. E 4,11. 5 ἐκτραπήσονται. σὺ δὲ νῆφε ἐν πᾶσιν, κακο-
πάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν δια-
Ph 2,17. 6 κονίαν σου πληροφόρησον. Ἐγὼ γὰρ ἤδη
1 K 9,25. σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἀναλύσεώς μου
1 T 6,12. Ph 3,14. 7 ἐφέστηκεν. τὸν καλὸν ἀγῶνα ἠγώνισμαι, τὸν
2,5. 1 P 5,4. 8 δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν
Jc 1,12. Ap 2,10. ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν
ἀποδώσει μοι ὁ κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ
δίκαιος κριτής, οὐ μόνον δὲ ἐμοὶ ἀλλὰ καὶ πᾶσι
τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.
21. 1,4. 9 Σπούδασον ἐλθεῖν πρός με ταχέως· Δημᾶς
Kol 4,14. 10

---

15 ιερα : R pr [τα] 16 T παιδιαν 4,1 h κριναι | βασ. αυτου : R,W. 2 hT παρακαλεσον, επιτιμησον

---

14 τινος 16 ελεγχον 4,1 διαμαρτ. ουν εγω | , και την : κατα την 5 κακοπαθ. : + ως καλος στρατιωτης Χριστου‿Ιησου 6 της εμης αναλ. 8 — πασι

γάρ με ἐγκατέλιπεν ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ
ἐπορεύθη εἰς Θεσσαλονίκην, Κρήσκης εἰς Γαλατίαν,
Τίτος εἰς Δαλματίαν· Λουκᾶς ἐστιν μόνος μετ' 11 Act 15,37. Kol 4,10.
ἐμοῦ. Μάρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ· ἔστιν
γάρ μοι εὔχρηστος εἰς διακονίαν. Τυχικὸν δὲ 12 Act 20,4. E 6,21. Kol 4,7.
ἀπέστειλα εἰς Ἔφεσον. τὸν φελόνην, ὃν ἀπέλιπον 13
ἐν Τρῳάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ
βιβλία, μάλιστα τὰς μεμβράνας. Ἀλέξανδρος ὁ 14 1 T 1,20. 2 Sm 3,39. Ps 28,4; 62,13. Prv 24,12.
χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο· **ἀποδώσει**
**αὐτῷ ὁ κύριος κατὰ τὰ ἔργα αὐτοῦ**· ὃν καὶ σὺ 15
φυλάσσου· λίαν γὰρ ἀντέστη τοῖς ἡμετέροις λόγοις.
Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι παρ- 16 1,15.
εγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς
λογισθείη· ὁ δὲ κύριός μοι παρέστη καὶ ἐνεδυνά- 17 Ps 22,22. Dn 6,21. 28. Act 23,11; 27,23.
μωσέν με, ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ
καὶ ἀκούσωσιν πάντα τὰ ἔθνη, **καὶ ἐρύσθην ἐκ**
**στόματος λέοντος**. ῥύσεταί με ὁ κύριος ἀπὸ παν- 18
τὸς ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν βασιλείαν
αὐτοῦ τὴν ἐπουράνιον· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας
τῶν αἰώνων, ἀμήν.

Ἄσπασαι Πρίσκαν καὶ Ἀκύλαν καὶ τὸν Ὀνησι- 19 Act 18,2. 1,16. R 16,3.
φόρου οἶκον. Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ, 20 Act 19,22.
Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα. Act 20,4; 21,29.
ˡΣπούδασον πρὸ χειμῶνος ἐλθεῖν. Ἀσπάζεταί 21
σε Εὔβουλος καὶ Πούδης καὶ Λίνος καὶ Κλαυδία
καὶ οἱ ἀδελφοὶ πάντες.

Ὁ κύριος μετὰ τοῦ πνεύματός σου. ἡ χάρις 22
μεθ' ὑμῶν.

---

*10* 𝔎 *εγκατελειπεν* | *Γαλατιαν* : h[r] T *Γαλλιαν*  *12* H *Τύχικον*  *13* 𝔎 *απελειπον*  *16* 𝔎 *εγκατελειπον*  *19* *Ακυλαν* : h[r]+, *Λεκτρὰν την γυναικα αυτου και Σιμαίαν και Ζηνωνα τους υιους αυτου,*  *20* 𝔎 *απελειπον*  *21* H [*παντες*] *22* *κυριος* : h+ *Ιησους*

---

*11 αγαγε  14 αποδωη  15 ανθεστηκε  17 ακουση  18 και ρυσ.  22 η χαρ. μ. υμων : ερρωσο εν ειρηνη* | fin + *αμην*
Subscriptio: *εγραφη απο Λαοδικειας vl απο Ρωμης + οτε εκ δευτερου παρεστη Παυλος τω καισαρι Ρωμης Νερωνι*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/